τῷ στόματι αὐτῶν εὐλογοῦσαν καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.
διάψαλμα.
6 πλὴν τῷ θεῷ ὑποτάγηθι, ἡ ψυχή μου,
ὅτι παρ᾽ αὐτοῦ ἡ ὑπομονή μου·
7 ὅτι αὐτὸς θεός μου καὶ σωτήρ μου,
ἀντιλήμπτωρ μου· οὐ μὴ μεταναστεύσω.
8 ἐπὶ τῷ θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου·
ὁ θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ θεῷ.
9 ἐλπίσατε ἐπ᾽ αὐτόν, πᾶσα συναγωγὴ λαοῦ·
ἐκχέετε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν·
ὁ θεὸς βοηθὸς ἡμῶν.
διάψαλμα.
10 πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων,
ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι
αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό.
11 μὴ ἐλπίζετε ἐπὶ ἀδικίαν
καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε·
πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.
12 ἅπαξ ἐλάλησεν ὁ θεός, δύο ταῦτα ἤκουσα,
13 ὅτι τὸ κράτος τοῦ θεοῦ, καὶ σοί, κύριε, τὸ ἔλεος,
ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

62 ΞΒʹ

1 Ψαλμὸς τῷ Δαυιδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ
ἐρήμῳ τῆς Ιουδαίας.
2 Ὁ θεὸς ὁ θεός μου, πρὸς σὲ ὀρθρίζω·
ἐδίψησέν σοι ἡ ψυχή μου,
ποσαπλῶς σοι ἡ σάρξ μου
ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ;
3 οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι
τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
4 ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς·
τὰ χείλη μου ἐπαινέσουσίν σε.
5 οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου,
ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
6 ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου,
καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
7 εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου,

6¹ η > B† || 7² μη > S† || 9¹ > S† | 9² εκχεατε S || 11² αρπαγμα Sa] -ματα BS || 13¹ σοι La] συ BS
62 (𝔐 63) 1 ιουδαιας] ιδουμαιας B: cf. Regn. I 17 1 Idt. 1 12 Is. 7 6 Ier. 9 25 || 6² στομα μου L] ονομα σου BS: cf. Deut. 21 5